Αλ. γαῖά τε καὶ μελάθρων στέγαι [ἀντ. α
νυμφίδιοί τε κοῖ-
ται πατρίας Ἰωλκοῦ.
Αδ. ἔπαιρε cαυτήν, ὦ τάλαινα, μὴ προδῷς·
λίccου δὲ τοὺc κρατοῦνταc οἰκτῖραι θεούc.

Αλ. ὁρῶ δίκωπον ὁρῶ cκάφοc ἐν [cτρ. β
λίμναι· νεκύων δὲ πορθμεὺc
ἔχων χέρ' ἐπὶ κοντῶι Χάρων
μ' ἤδη καλεῖ· Τί μέλλειc;
ἐπείγου· cὺ κατείργειc. τάδε τοί με
cπερχόμενοc ταχύνει.
Αδ. οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξαc. ὦ δύcδαιμον, οἷα πάcχομεν.

Αλ. ἄγει μ' ἄγει τιc, ἄγει μέ τιc (οὐχ [ἀντ. β
ὁρᾶιc;) νεκύων ἐc αὐλάν,
ὑπ' ὀφρύcι κυαναυγέcι
βλέπων πτερωτὸc Ἅιδαc.
τί ῥέξειc; ἄφεc. οἵαν ὁδὸν ἁ δει-
λαιοτάτα προβαίνω.
Αδ. οἰκτρὰν φίλοιcιν, ἐκ δὲ τῶν μάλιcτ' ἐμοὶ
καὶ παιcίν, οἷc δὴ πένθοc ἐν κοινῶι τόδε.

Αλ. μέθετε μέθετέ μ' ἤδη· [ἐπωιδ.
κλίνατ', οὐ cθένω ποcίν.
πληcίον Ἅιδαc, cκοτία

249 νυμφίδιοί BOV: -ιαί LP πατρίαc Aldina: -ώ(ι)αc codd. ἰωλκοῦ BVL: -κοῦc OP 254 χέρ' Aldina: χεῖρ' codd. et gB 256 τάδε τοί με B(O)V: τάδ' ἕτοιμα LP et (gB) 259 ἄγει μ' ἄγει τίc ἄγει με τίc fere BO et gB: ἄγει μ' ἄγει τίc V: ἄγει ἄγει μέ τιc ⟨L⟩P: ἄγει μ' ἄγει μέ τιc Tr 260 ἐc P?: εἰc BOVL et Pc 262 ἅδαc P: ἅδηc L: ἀίδαc BOV et gB 263 τί ῥέξειc LP: μέθεc με τί ῥέξειc (πράξειc V) BOV et gB δειλαιοτάτα V⟨L⟩P et gB: δειλοτάτα BO: δειλαία Tr 266 μέθετε μέθετέ μ' LP: μέθετέ με μέθετέ μ' BOV 267 κλίνατ' BOV: κλίνατέ μ' LP ποcίν Hermann: ποcὶ OL: πόcι BVP et Σb 268 ἅδαc LP: ἀίδαc BOV





δ' ἐπ' ὄccοιcι νὺξ ἐφέρπει.
τέκνα τέκν', οὐκέτι δὴ
οὐκέτι μάτηρ cφῷν ἔcτιν.
χαίροντεc, ὦ τέκνα, τόδε φάοc ὁρῷτον.

Αδ. οἴμοι· τόδ' ἔποc λυπρὸν ἀκούειν
καὶ παντὸc ἐμοὶ θανάτου μεῖζον.
μὴ πρόc ⟨cε⟩ θεῶν τλῆιc με προδοῦναι,
μὴ πρὸc παίδων οὓc ὀρφανιεῖc,
ἀλλ' ἄνα, τόλμα.
cοῦ γὰρ φθιμένηc οὐκέτ' ἂν εἴην,
ἐν cοὶ δ' ἐcμὲν καὶ ζῆν καὶ μή·
cὴν γὰρ φιλίαν cεβόμεcθα.

Αλ. Ἄδμηθ', ὁρᾶιc γὰρ τἀμὰ πράγμαθ' ὡc ἔχει,
λέξαι θέλω cοι πρὶν θανεῖν ἃ βούλομαι.
ἐγώ cε πρεcβεύουcα κἀντὶ τῆc ἐμῆc
ψυχῆc καταcτήcαcα φῶc τόδ' εἰcορᾶν
θνήιcκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ cέθεν,
ἀλλ' ἄνδρα τε cχεῖν Θεccαλῶν ὃν ἤθελον
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι.
οὐκ ἠθέληcα ζῆν ἀποcπαcθεῖcα cοῦ
cὺν παιcὶν ὀρφανοῖcιν, οὐδ' ἐφειcάμην
ἥβηc, ἔχουc' ἐν οἷc ἐτερπόμην ἐγώ.
καίτοι c' ὁ φύcαc χἠ τεκοῦcα προύδοcαν,
καλῶc μὲν αὐτοῖc κατθανεῖν ἧκον βίου,
καλῶc δὲ cῶcαι παῖδα κεὐκλεῶc θανεῖν.
μόνοc γὰρ αὐτοῖc ἦcθα, κοὔτιc ἐλπὶc ἦν

269 ὄccοιcι P: ὄccοιcιν L: ὄccοιc BOV et gB 270 hiatus suspicionem mouet 271 οὐκέτι fere BOV: οὐκέτι δὴ LP 272 φῶc L ὁρῷτην Elmsley: uide Page ad Med. 1073, Fraenkel ad A. Ag. 1207 273 οἴμοι BOVL et gE: ὤμοι P et Lc ἀκούειν Monk (uel ἀκοῦcαι): ἀκούω codd. et gE 275 ⟨cε⟩ Porson με τλῆ(ι)c BO 276 μὴ ... ὀρφανιεῖc om. LP ἄνα τόλμα Tr: ἀνατόλμα codd. 283 ψυχῆc om. BO, qui post εἰcορᾶν add. φίλον 285 θεccαλῶν BO et Σb: -ὸν VLP 287 cου L 289 ἔχουc' ἐν οἷc ἐτερπόμην ἐγώ BO: ἔχουcα δῶρ' ἐν οἷc ἐτερπόμην fere VLP (δῶρον ἐν L; ἐτερπόμην ἐγώ V, ∼ V²)

*coῦ κατθανόντος ἄλλα φιτύςειν τέκνα.*
*κἀγώ τ' ἂν ἔζων καὶ cὺ τὸν λοιπὸν χρόνον,*
*κοὐκ ἂν μονωθεὶς cῆς δάμαρτος ἔςτενες*
*καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν*
*θεῶν τις ἐξέπραξεν ὥcθ' οὕτως ἔχειν.*
*εἶέν· cύ νύν μοι τῶνδ' ἀπόμνηcαι χάριν·*
*αἰτήcομαι γάρ c' ἀξίαν μὲν οὔποτε*
*(ψυχῆς γὰρ οὐδέν ἐcτι τιμιώτερον),*
*δίκαια δ', ὡς φήcεις cύ· τούcδε γὰρ φιλεῖς*
*οὐχ ἧccον ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς.*
*τούτους ἀνάcχου δεcπότας ἐμῶν δόμων*
*καὶ μὴ 'πιγήμῃς τοῖcδε μητρυιὰν τέκνοις,*
*ἥτις κακίων οὖc' ἐμοῦ γυνὴ φθόνωι*
*τοῖς coῖcι κἀμοῖς παιcὶ χεῖρα προcβαλεῖ.*
*μὴ δῆτα δράcῃς ταῦτά γ', αἰτοῦμαί c' ἐγώ·* ←
*ἐχθρὰ γὰρ ἡ 'πιοῦcα μητρυιὰ τέκνοις*
*τοῖς πρόcθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.*
*καὶ παῖς μὲν ἄρcην πατέρ' ἔχει πύργον μέγαν*
*[ὃν καὶ προcεῖπε καὶ προcερρήθη πάλιν]·*
*cὺ δ', ὦ τέκνον μοι, πῶς κορευθήcῃ καλῶς;*
*ποίας τυχοῦcα cυζύγου τῶι cῶι πατρί;*
*μή coί τιν' αἰcχρὰν προcβαλοῦcα κληδόνα*
*ἥβης ἐν ἀκμῆι coὺς διαφθείρῃ γάμους.*
*οὐ γάρ cε μήτηρ οὔτε νυμφεύcει ποτὲ*
*οὔτ' ἐν τόκοιcι coῖcι θαρcυνεῖ, τέκνον,*
*παροῦc', ἵν' οὐδὲν μητρὸς εὐμενέcτερον.*
*δεῖ γὰρ θανεῖν με· καὶ τόδ' οὐκ ἐς αὔριον*
*οὐδ' ἐς τρίτην μοι †μηνὸς† ἔρχεται κακόν,*

294 *φιτύcειν* V et B$^{\gamma\rho}$ et gB: *φυτ-* BOLP et $\Sigma^b$ 295 *κἄγωγ'* Et. Ma. 413. 9 *ἔζων* V et L$^s$: *ἔζην* BOLP et Et. Ma. 298 *ἐξέπραξεν* LP et V$^2$: *εἰcέπραξεν* BO: *ἔπραξεν* V 299 *νύν μοι* Dindorf: *νῦν μοι* V et gE: *μοι νῦν* BO: *δή μοι* L: *δ' ἡμῖν* P 304 *ἐμῶν* BOV: *τῶν ἐμῶν* LP 307 *παιcὶ* om. BO 310 *ἐχίδνης* codd. et gV: *ἐ- δ'* V$^s$ et gB: *ἐ- γὰρ* gE 312 del. Pierson: uide 195 318 *coῖcι θαρcυνεῖ τέκνον* LP: *τοῖcι coῖcι θαρcυνεῖ* fere BOV (*θαρcύνει* B, *θραcύνει* O) 319 *οὐδὲ* L 320 *ἐc* L: *εἰc* BOVP 321–2 om. L (~ L$^{1c}$) 321 *ἐc* L$^{1c}$P: *εἰc* BOV *τρίτον μοι φέγγος* Herwerden





*ἀλλ' αὐτίκ' ἐν τοῖς οὐκέτ' οὖcι λέξομαι.*
*χαίροντες εὐφραίνοιcθε· καὶ coὶ μέν, πόcι,*
*γυναῖκ' ἀρίcτην ἔcτι κομπάcαι λαβεῖν,*
*ὑμῖν δέ, παῖδες, μητρὸς ἐκπεφυκέναι.*
Χο. *θάρcει· πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι·*
*δράcει τάδ', εἴπερ μὴ φρενῶν ἁμαρτάνει.*
Αδ. *ἔcται τάδ', ἔcται, μὴ τρέcῃς· ἐπεί c' ἐγὼ*
*καὶ ζῶcαν εἶχον καὶ θανοῦc' ἐμὴ γυνὴ*
*μόνη κεκλήcῃ, κοὔτις ἀντὶ coῦ ποτε*
*τόνδ' ἄνδρα νύμφη Θεccαλὶς προcφθέγξεται.*
*οὐκ ἔcτιν οὕτως οὔτε πατρὸς εὐγενοῦς*
*οὔτ' εἶδος ἄλλως ἐκπρεπεcτάτη γυνή.*
*ἅλις δὲ παίδων· τῶνδ' ὄνηcιν εὔχομαι*
*θεοῖς γενέcθαι· coῦ γὰρ οὐκ ὠνήμεθα.*
*οἴcω δὲ πένθος οὐκ ἐτήcιον τὸ cὸν*
*ἀλλ' ἔcτ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,*
*cτυγῶν μὲν ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν*
*πατέρα· λόγωι γὰρ ἦcαν οὐκ ἔργωι φίλοι.*
*cὺ δ' ἀντιδοῦcα τῆς ἐμῆς τὰ φίλτατα*
*ψυχῆς ἔcωcας. ἆρά μοι cτένειν πάρα*
*τοιᾶcδ' ἁμαρτάνοντι cυζύγου cέθεν;*
*παύcω δὲ κώμους cυμποτῶν θ' ὁμιλίας*
*cτεφάνους τε μοῦcάν θ' ἣ κατεῖχ' ἐμοὺς δόμους.*
*οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι*
*οὔτ' ἂν φρέν' ἐξάραιμι πρὸς Λίβυν λακεῖν*
*αὐλόν· cὺ γάρ μου τέρψιν ἐξείλου βίου.*
*cοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ cὸν*
*εἰκαcθὲν ἐν λέκτροιcιν ἐκταθήcεται,*
*ὧι προcπεcοῦμαι καὶ περιπτύccων χέρας*

322 *οὐκέτ'* L$^{1c}$P: *μηκέτ'* BOV 326 *οὐχ ἅζομαι* BOV et $\Sigma^b$: *οὐ χάζομαι* LP et B$^c$ et $^1\Sigma^b$ 327 *εἴπερ...ἁμαρτάνει* BOV et gBgE: *ἥνπερ...ἁμαρτάνῃ* LP 329 *ἐμὴ* VLP: *ἐμοῦ* BO 333 *ἐκπρεπεcτάτη* L et P$^{1c}$: *εὐπρ-* BOVP? 335 *ἑλέcθαι* Maas cl. A. Ag. 350 344 *θ'* om. BO *κατεῖχεν* V 346 *ἐξάραιμι* Wakefield: *ἐξάροιμι* LP (cf. Cycl. 473): *ἐξαίροιμι* BOV et $^1\Sigma^b$: aoristum ut uid. $^1\Sigma^b$ 347 *μοι* Hermann, Earle *βίου* om. BO (~ gE) 348 *δέμας τὸ cὸν* VLP et gE: *τὸ cὸν δ-* BO